καὶ πάνθ' ὅσα ⟨καὶ⟩ κατὰ μίαν τὴν ὅλην περίοδον καὶ
καθ' ἑκάστην τῶν ὅλων, ὡσαύτως ἀποδοθήσεται. φανερὸν
τοίνυν ἤδη ὅ τι ἔφαμεν, τὴν εἱμαρμένην ἄπειρον τρόπον
τινὰ οὖσαν μὴ ἄπειρον εἶναι, καὶ τό γε ῥηθέν, ὅτι κύκλος
τίς ἐστι, μετρίως που κατῶπται· ὡς γὰρ καὶ ἡ τοῦ κύκλου
κίνησις ὅ τε ταύτην παραμετρῶν χρόνος κύκλος τίς ἐστιν,
οὕτω καὶ τῶν κατὰ κύκλον γινομένων ὁ λόγος κύκλος ἂν
νομισθείη.

D **4.** Σχεδὸν μὲν οὖν καὶ τοῦτο δηλοῖ, ὁποῖόν τι τυγχάνει
ἡ εἱμαρμένη, πλὴν οὐχ ἥ γε κατὰ μέρος οὐδ' ἡ καθ'
ἕκαστα. ποία τις οὖν καὶ ἥδε κατ' αὐτὸ δὴ τὸ εἶδος τοῦ
λόγου; ἔστι τοίνυν, ὡς ἄν τις εἰκάσαι, οἷος ὁ πολιτικὸς
νόμος, ⟨ὃς⟩ πρῶτον μὲν τὰ πλεῖστα, εἰ καὶ μὴ πάντα,
ἐξ ὑποθέσεως προστάττει, ἔπειτα μὴν καθόλου τὰ πόλει
προσήκοντα εἰς δύναμιν περιλαμβάνει. πάλιν δὴ τούτων
ἑκάτερον ὁποῖόν τί ἐστι, σκεπτέον. ἀκολούθως τοίνυν ὁ
πολιτικὸς νόμος περί τ' ἀριστέως καὶ λιποτάκτου δια-
λέγεται καὶ περὶ τῶν ἄλλων ὡσαύτως, ἀλλ' οὐ περὶ τοῦδ'
ἢ τοῦδ' ⟨ᾗ⟩ νόμιμόν ἐστιν, ἀλλὰ τὰ μὲν καθόλου προ-
E ηγουμένως, τὰ δ' ὑποπίπτοντα τούτοις ἑπομένως. καὶ
γὰρ τὸ τιμῆσαι τόνδε τινὰ ἠριστευκότα καὶ τὸ κολάσαι
τόνδε τινὰ λιποτακτήσαντα νόμιμον ἂν φήσαιμεν, ὡς δυνά-
μει καὶ περὶ τούτων διατεταγμένου τοῦ νόμου, ὃν τρόπον
ὁ ἰατρικὸς καὶ ὁ γυμναστικὸς ὡς εἰπεῖν νόμος δυνάμει τὰ
καθ' ἕκαστα τοῖς ὅλοις συμπεριλαμβάνει· οὕτω δὲ καὶ ὁ τῆς
φύσεως νόμος τὰ μὲν καθόλου προηγουμένως, τὰ δὲ καθ'
F ἕκαστα ἑπομένως. ἔστι θ' εἱμαρμένα τρόπον τινὰ καὶ
ταῦτα, ὄντ' ἐκείνοις συνειμαρμένα. τάχα δ' ἄν τις τῶν